# TEZAUR LITURGIC

**18 APRILIE**

**HARALAMBOS BOUSIA**

# SLUJBA
## SF.IERARH-MUCENIC
# CHIRIL VI
# SERAPETZOGLOU,
## PATRIARHUL
## CONSTANTINOPOLULUI

**ATENA,2020**


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 18 ΑΠΡΙΛΙΟΣ
# ΚΥΡΙΛΛΟΣ ΣΤ΄ΚΩΝ/ΠΟΛΕΩΣ
# ΝΕΟΣ ΙΕΡΟΜΑΡΤΥΣ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Δρ.Χαραλάμπους Μπούσια**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ᾽ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.

Τῶν Ὀρθοδόξων οἱ παῖδες συνευφραινόμενοι, τοῦ ἱεροῦ Κυρίλλου, εὐσθενοῦς Πατριάρχου, καὶ Μάρτυρος ἀρίστου καὶ σθεναροῦ, ἑορτάζομεν σήμερον, τὴν θείαν μνήμην καὶ κράζομεν· τῷ Χριστῷ, ὑπὲρ πάντων Πάτερ πρέσβευε.

Σταυρὸν βαστάζων Κυρίου ἐπὶ τῶν ὤμων σου, καὶ τῆς ἱεραρχίας, ἀμπεχόμενος μάκαρ, χιτῶνα ἐπορεύθης ἀνδροπρεπῶς, τὴν ὁδὸν τῆς ἀθλήσεως, ἄχρι θανάτου κηδόμενος γεραρέ, Πάτερ Κύριλλε τῆς ποίμνης σου.

Χερσὶ στυγνῶν μιαιφόνων ὑπέστης θάνατον, ἀνδρείως δι᾽ ἀγχόνης, ἐναθλήσας νομίμως· ἐντεῦθέν σου τὸ σκῆνος ὡς θησαυρόν, Παρακλήτου τῇ χάριτι, θεόφρον Κύριλλε Πύθιον εὐλαβῶς, ὑπεδέξατο καὶ ἔθαψεν.

Ἀνδριανούπολις χαίρει ἡ σὲ βλαστήσασα, τὸ Βασιλεῦον ἄστυ, οὗ ἡγίασας θῶκον, καὶ κώμη τοῦ

Πυθίου οὗπερ ἡ γῆ, τὸ σὸν σκῆνος ἐδέξατο, ἱεροάθλων ἁπάντων Ἱεραρχῶν, κοσμιότης Πάτερ Κύριλλε.

*Δόξα. Ἦχος α΄.*

Τοῖς ἴχνεσι Χριστοῦ ἀκολουθήσας, καὶ ποιμὴν θεόσοφος ἀναδειχθεὶς Κύριλλε, Πατριάρχα γενναιότατε, οὐδόλως ἐπτοήθης τῶν δυσσεβῶν τὴν μανίαν, ἀλλ' ἀπτοήτως προέκρινας θανεῖν ὑπὲρ τῶν προβάτων σου· διὸ ἐν τῇ τοῦ ἔαρος νῦν ὥρᾳ, Ὀρθοδόξων τὰ συστήματα τὴν μνήμην σου ἐκτελοῦντα, καὶ τῆς ἀλκίμου καὶ ἁγίας σου ψυχῆς ἀναμιμνησκόμενα, ἐκζητοῦμεν τὰς ἀόκνους σου πρεσβείας, πρὸς τῆς δόξης τὸν Κύριον.

*Καὶ νῦν. Τῆς Ἑορτῆς ἢ Θεοτοκίον.*

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Ἕβρος ὁ ποταμός, ἐξέβρασε σὸν σκῆνος, εἰς τοῦ Πυθίου κώμην, ἧς πέλεις ἀντιλήπτωρ, καὶ ἀρωγὸς νῦν Κύριλλε.

Στ.: *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτης τῆς καρδίας μου σύνεσιν.*

Χαίρει ἡ σὴ πατρίς, Ἀδριανοῦ ἡ πόλις, ἐν ᾗ καὶ τὸν ἀγῶνα, νομίμως δι' ἀγχόνης, ἐτέλεσας ὦ Κύριλλε.

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Ἄνωθεν τοὺς πιστούς, μὴ παύσῃ ἐποπτεύων, καὶ ὁδηγεῖν πρὸς τρίβους, εἰρήνης καὶ ἀγάπης, ἱερομύστα Κύριλλε.

*Δόξα. Τριαδικόν.*

Ἕνα Σε πανσθενῆ, Τριὰς ὑπεραγία, Θεὸν δοξάζων ἄρτι, ὁ Κύριλλος ἀγχόνης, τὸν βρόγχον καθυπέμεινε.

*Καὶ νῦν. Θεοτοκίον.*

Χαίρει τῶν εὐσεβῶν, Παρθένε ἡ χορεία, τῇ Σῇ ἐπιστασίᾳ, καὶ θαυμασίων πλῆθος, κηρύττει Σου ἑκάστοτε.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Βυζαντίου τὸν θρόνον ἀρεταῖς κατεκόσμησας, Ἀνδριανουπόλεως θρέμμα ἱερώτατε Κύριλλε, ζηλώσας γὰρ τὰς τρίβους ἀθλητῶν, ἀγχόνη ἠωρήθης απηνῶς, καὶ Πυθιου ἀνεδείχθης, πανσθενουργὸς προστάτης ὅθεν κράζομεν· δόξα τῷ σὲ δοξασαντι Χριστῷ, δοξα τῷ σὲ κραταιώσαντι, δοξα τῷ νεοάθλων κοινωνόν, σὲ ἀναδειξαντι.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς ἢ Θεοτοκίον.*

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

*Ἀπόλυσις.*

# ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ’ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α’. Πανεύφημοι Μάρτυρες.

Ἐν γήρᾳ φρονήματι στεῤῥῷ, σεαυτὸν ἐκδέδωκας, ὡς νεανίας εἰς θάνατον, ὑπὲρ τῆς ποίμνης σου, γεραρὲ προθύμως, τὸν Χριστὸν μιμούμενος, ἐχθρὸν μὴ δειλιάσας νεόαθλε, τὸν φρυαττόμενον· ὅθεν μνήμην τὴν ἁγίαν σου, ἐκτελοῦμεν γηθόμενοι Κύριλλε.

Φωστῆρα λαμπρὸν Ἱεραρχῶν, Βυζαντίου κόσμημα, ἐν δυσχειμέροις τοῖς ἔτεσι, τὸν διαλάμψαντα, ἀρετῶν ἀκτῖσι, καὶ ψυχῆς στεῤῥόφρονος, πυρσεύμασι τιμήσωμεν χαίροντες, καὶ ἀνακράξωμεν· χαῖρε Κύριλλε θεόσοφε, Νεομάρτυς, ἀνδρεῖε τῆς πίστεως.

Ποιμάνας λαὸν θεοφιλῶς, Ἰκονίου πρότερον, Ἀδριανοῦ εἶτα πόλεως, τῆς γεννησάσης σε, καὶ τοῦ Βυζαντίου, ὤφθης μάκαρ Κύριλλε, ἐπίσκοπος εἰς τύπον τοῦ Κτίσαντος· διὸ ὑμνοῦντές σε, τὸν ἀξίως σε δοξάσαντα, μετὰ πότμον, δοξάζομεν Κύριον.

Βλαστὲ καὶ ποιμὴν πανευλαβές, Ἀδριανουπόλεως, Νεομαρτύρων ὡράϊσμα, ἀνευφημοῦμέν σε, Κύριλλε παμμάκαρ, ὅτι προετίμησας, θανεῖν ὑπὲρ ἐλλόγων προβάτων σου, καὶ κατεπάτησας, τῶν ἐκγόνων Ἄγαρ φρύαγμα· διὰ τοῦτο στεφάνοις κεκόσμησαι.

Τὸ πάντιμον σκήνωμα τὸ σόν, τῷ τῆς ἁγιότητος, φωτὶ λαμπόμενον ἤνεγκε, ῥεῦμα ποτάμιον, εἰς Πυθίου ὄχθας, ἔνθα θείᾳ χάριτι, ἐγνώρισεν αὐτὸ καὶ ἀνέσυρεν,

ἀνὴρ θεόφιλος, ὁ πιστῶς ἐνεταφίασεν, ἐν τῷ οἴκῳ, αὐτοῦ Πάτερ Κύριλλλε.

Σὺν σοὶ πρωτοσύγκελλος ὁ σός, θαυμαστὸς Θεόκλητος, ἱερομόναχος ἕτερος, σεμνὸς Ἰάκωβος, καὶ προυχόντων δῆμος, Ἀδριανουπόλεως, ὀκτὼ Κυρίου δοῦλοι καὶ εἴκοσι, ἐτελειώθησαν, καὶ στεφάνους ἀπειλήφασι, νίκης Πάτερ, τρισόλβιε Κύριλλε.

*Δόξα. Ἦχος πλ. β΄.*

Τὸν κοινωνὸν τοῦ Χριστοῦ παθημάτων, καὶ ἀγλαϊσθέντα τῇ δόξῃ τῆς Αὐτοῦ Βασιλείας, Κύριλλον τὸν νέον Ἱερομάρτυρα, καταστέψωμεν ᾄσμασιν ἀνακράζοντες· χαῖρε, Πατριαρχῶν σεπτῶν ἀκροθίνιον, καὶ ποιμένων ὑπόδειγμα, ὁ τὴν ψυχὴν θύσας ὑπὲρ τῶν λογικῶν σου προβάτων· χαῖρε, Ἀδριανουπόλεως ἐκβλάστημα, ὁ ἐν αὐτῇ ἀγχόνης γευσάμενος, καὶ ἀφθαρσίας γέρα θεόθεν δρεψάμενος· χαῖρε, Πυθίου ἔφορε καὶ πολιοῦχε, ὁ τὴν αὐτοῦ ἁγιάσας χθόνα, καὶ ἐκ χαλεπῶν συμφορῶν αὐτὸ λυτρωσάμενος. Ἀλλ᾽ ὦ Ἱερομάρτυς γενναιότατε, τῷ τοῦ Κυρίου θρόνῳ παριστάμενος, καὶ σὺν πᾶσι τοῖς Ἁγίοις χορεύων καὶ εὐφραινόμενος, ἀπαύστως πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς ἢ Θεοτοκίου.*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι'

ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. ιθ΄, 20-29)*

Ἄκουε, υἱέ, παιδείαν πατρός σου, ἵνα σοφὸς γένῃ ἐπ᾽ ἐσχάτων σου. πολλοὶ λογισμοὶ ἐν καρδίᾳ ἀνδρός, ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει. καρπὸς ἀνδρὶ ἐλεημοσύνη, κρείσσων δὲ πτωχὸς δίκαιος ἢ πλούσιος ψεύστης. φόβος Κυρίου εἰς ζωὴν ἀνδρί, ὁ δὲ ἄφοβος αὐλισθήσεται ἐν τόποις, οὗ οὐκ ἐπισκοπεῖται γνῶσις. ὁ ἐγκρύπτων εἰς τὸν κόλπον αὐτοῦ χεῖρας ἀδίκως, οὐδὲ τῷ στόματι οὐ μὴ προσαγάγῃ αὐτάς. λοιμοῦ μαστιγουμένου, ἄφρων πανουργότερος γίνεται· ἐὰν δὲ ἐλέγχῃς ἄνδρα φρόνιμον, νοήσει αἴσθησιν. ὁ ἀτιμάζων πατέρα καὶ ἀπωθούμενος μητέρα αὐτοῦ καταισχυνθήσεται καὶ ἐπονείδιστος ἔσται. υἱὸς ἀπολειπόμενος φυλάξαι παιδείαν πατρὸς μελετήσει ῥήσεις κακάς. ὁ ἐγγυώμενος παῖδα ἄφρονα καθυβρίσει δικαίωμα, στόμα δὲ ἀσεβῶν καταπίεται κρίσεις. ἑτοιμάζονται ἀκολάστοις μάστιγες, καὶ τιμωρίαι ὁμοίως ἄφροσιν.

*Σοφίας Σειρὰχ τὸ Ἀνάγνωσμα (Κεφ. ιη΄, 15-33)*

Τέκνον, ἐν ἀγαθοῖς μὴ δῷς μῶμον καὶ ἐν πάσῃ δόσει λύπην λόγων. οὐχὶ καύσωνα ἀναπαύσει δρόσος; οὕτως κρείσσων λόγος ἢ δόσις. οὐκ ἰδοὺ λόγος ὑπὲρ δόμα ἀγαθόν; καὶ ἀμφότερα παρὰ ἀνδρὶ κεχαριτωμένῳ. μωρὸς ἀχαρίστως ὀνειδιεῖ, καὶ δόσις βασκάνου ἐκτήκει ὀφθαλμούς. πρὶν ἢ λαλῆσαι μάνθανε, καὶ πρὸ ἀρρωστίας θεραπεύου. πρὸ κρίσεως ἐξέταζε σεαυτόν, καὶ ἐν ὥρᾳ ἐπισκοπῆς εὑρήσεις ἐξιλασμόν. πρὶν ἀρρωστῆσαί σε ταπεινώθητι καὶ ἐν καιρῷ ἁμαρτημάτων δεῖξον ἐπιστροφήν. μὴ ἐμποδισθῇς τοῦ ἀποδοῦναι εὐχὴν εὐκαίρως, καὶ μὴ μείνῃς ἕως θανάτου δικαιωθῆναι. πρὶν εὔξασθαι, ἑτοίμασον σεαυτὸν καὶ μὴ γίνου ὡς ἄνθρωπος πειράζων τὸν Κύριον. μνήσθητι θυμοῦ ἐν ἡμέραις τελευτῆς καὶ καιρὸν ἐκδικήσεως ἐν ἀποστροφῇ προσώπου. μνήσθητι καιρὸν λιμοῦ ἐν καιρῷ πλησμονῆς, πτωχείαν καὶ ἔνδειαν ἐν ἡμέραις πλούτου. ἀπὸ πρωΐθεν ἕως ἑσπέρας μεταβάλλει καιρός, καὶ πάντα ἐστὶ ταχινὰ ἔναντι Κυρίου. ἄνθρωπος σοφὸς ἐν παντὶ εὐλαβηθήσεται καὶ ἐν ἡμέραις ἁμαρτιῶν προσέξει ἀπὸ πλημμελείας. πᾶς συνετὸς ἔγνω σοφίαν καὶ τῷ εὑρόντι αὐτὴν δώσει ἐξομολόγησιν. συνετοὶ ἐν λόγοις καὶ αὐτοὶ ἐσοφίσαντο καὶ ἀνώμβρησαν παροιμίας ἀκριβεῖς. ὀπίσω τῶν ἐπιθυμιῶν σου μὴ πορεύου καὶ ἀπὸ τῶν ὀρέξεών σου κωλύου. ἐὰν χορηγήσῃς τῇ ψυχῇ σου εὐδοκίαν ἐπιθυμίας, ποιήσει σε ἐπίχαρμα τῶν ἐχθρῶν σου. μὴ εὐφραίνου ἐπὶ πολλῇ τρυφῇ, μηδὲ προσδεθῇς

συμβολῇ αὐτῆς. μὴ γίνου πτωχὸς συμβολοκοπῶν ἐκ δανεισμοῦ, καὶ οὐδέν σοί ἐστιν ἐν μαρσιπείῳ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ' 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α'.*

Ἡ τὰ ἀγαθὰ τῆς ἐλευθερίας δρεπομένη Ἑλλήνων χώρα, ἐν ἀγαλλιάσει τίμα τὸ μέγιστον ἐν Ἱερομάρτυσι, Πατριάρχην Κύριλλον, τὸν τοῦ Βυζαντίου σεμνὸν προϊστορα. Οὗτος γὰρ τὸν σταυρὸν τοῦ ἔθνους ἡμῶν βαστάζων, καὶ τὴν καλὴν κηρύττων ὁμολογίαν, τὴν

ψυχὴν αὐτοῦ ἔθηκεν ὑπὲρ τῶν προβάτων. Καὶ νῦν Χριστῷ παριστάμενος ἐν δώμασι θείοις, καὶ τῆς ἀλήκτου ἐν Αὐτῷ ἐλευθερίας ἀπολαύων, πληροῖ τὰς ἡμῶν αἰτήσεις ὑπὲρ εἰρήνης τοῦ κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

*Ἦχος β΄.*

Ἀρχιερατεύσας ἐν Ἰκονίῳ καὶ Ἀδριανουπόλει, τὸν θρόνον τῆς Βασιλίδος κατέλαβες ἀξίως τῶν Πόλεων, θεοφάντορ Κύριλλε. Εὐαρεστήσας οὖν Θεῷ καὶ ἀνθρώποις, Ἀθλητῶν ἠξίωσαι ὑπελθεῖν τὸν ἀγῶνα, καὶ νίκης δρέψασθαι στέφος χρυσόπλοκον. Καὶ νῦν σὺν Ἱεράρχαις καὶ Μάρτυσι δοξαζόμενος, μὴ παύσῃ δεόμενος ὑπὲρ τῶν ἐν αἰχμαλωσίᾳ στενόντων, ὁμοδόξων ἀδελφῶν ἡμῶν.

*Ἦχος γ΄.*

Οἰακοστρόφος ἐχρημάτισας ἄριστος, τῆς νηὸς τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ἐν καιρῷ δουλείας Κύριλλε πανθαύμαστε. Σὺ γὰρ σφραγίσας τῷ ἰδίῳ σου αἵματι, τὴν θεοφιλῆ σου πολιτείαν, φωτὶ ἱεροάθλων ἀδύτῳ κεκόσμησαι. Πρέσβευε οὖν τῷ ἀγωνοθέτῃ Κυρίῳ, ῥύεσθαι πάσης βλάβης καὶ θλίψεων, τοὺς ἑορτάζοντας πόθῳ, τὴν ἁγίαν μνήμην σου.

*Δόξα. Ἦχος δ΄.*

Τῇ σῇ ἀνδρικῇ ἐνστάσει τοὺς δυσσεβεῖς καταισχύνας, ἰταμῶς ἐν ἀγχόνῃ ἀπῃωρήθης, καὶ μαρτυρικῆς εὐκλείας ἐκοινώνησας Κύριλλε. Καὶ τὸ μὲν σκῆνός σου θαυμαστῶς ἐν Πυθίῳ τέθαπται, τὸ δὲ

πνεῦμά σου σὺν Ἀγγέλοις Χριστὸν δοξάζει, καὶ πρεσβεύει ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Τῆς Ἑορτῆς ἢ Θεοτοκίον.*

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα Σὲ δοξάζομεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, Πατριαρχῶν καλλονή, ἱεροάθλων τιμαλφὲς σεμνολόγημα, προΐστορ τοῦ Βυζαντίου, ὁ ἐν δουλείας καιροῖς, δυσχειμέροις γένους, εὐσεβόφρονος, ἡμῶν τὸ πηδάλιον, Ἐκκλησίας στεῤῥότατα, Χριστοῦ βαστάσας, ἱερώτατε Κύριλλε, καὶ ἐν κλύδωσι, σεαυτοῦ μὴ φεισάμενος· ἔδωκας γὰρ πανένδοξε, ἀγχόνῃ τὸ σῶμά σου, ὡς ἂν ἐάσῃς τὸ πνεῦμα, διαπετάσαι πρὸς Κύριον, Ὃν νῦν ἱκετεύεις, εἰρηναῖον βίον δοῦναι, τοῖς εὐφημοῦσί σε.

Στ.: *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτης τῆς καρδίας μου σύνεσιν.*

Χαίροις, τῆς Θράκης γόνε σεπτέ, Αδριανοῦ εὐτέκνου ἄστεως βλάστημα, τῆς Πόλεως Βασιλίδος, ἀρχιερεὺς ὁ σοφός, καὶ Νεομαρτύρων, θεῖον κόσμημα, πανένδοξε Κύριλλε, σκεῦος τὸ πολυτίμητον, τοῦ Παρακλήτου, ἐκρεμάσθης ὡς ἄνομος, καὶ ὑπέμεινας, ἐπονείδιστον θάνατον· ἔχων γὰρ ἄχρι γήρατος, ἐλεύθερον φρόνημα, τοὺς εὐσεβεῖς ἐνεψύχους, τοὺς ἐν σκοτείᾳ δουλώσεως, καθεύδοντας πλάνων, καὶ λαοῦ ἐλευθερίας, εἰκὼν γεγένησαι.

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Ἔβρος, καθηγιάσθη τὸ σόν, σκῆνος δεξάμενος τὸ πάντιμον Κύριλλε, καὶ κώμη λαμπρὰ Πυθίου, ἐν ᾗ ἐτάφη σεμνῶς, καὶ ἧς πολιοῦχος, πέλεις ἔνδοξος· μὴ παύσῃ δεόμενος, οὖν Χριστοῦ ἱερώτατε, καταπεμφθῆναι, ἀρωγόν σε τοῖς ἔχουσι, καὶ ἀκέστορα, ἐν δεινοῖς χάριν ἄφθονον, καὶ οὐρανόθεν ἔλεος, τὸ πλούσιον ἅπασι, τοῖς ἐκτελοῦσι σὴν μνήμην, τὴν ἱερὰν καὶ φωτόλαμπρον, ᾠδαῖς μελιῤῥύτοις, ἀρχιθύτα τροπαιοῦχε, καὶ θεοδόξαστε.

*Δόξα. Ἦχος πλ. δ΄.*

Ἐν τῇ προσόψει τοῦ σοῦ ἐπισκοπείου, ὡς ἐν Σταυρῷ ὁ Κύριος, ἀπῃωρήθης ἱερόαθλε Κύριλλε. Σὺ γὰρ ὡς καλὸς ποιμὴν ἐτύθης, ὑπὲρ τῶν λογικῶν σου προβάτων, τῶν πικρᾷ δουλείᾳ συνεχομένων. Καὶ νῦν Χριστὸν ἱκετεύεις, ἡμᾶς ἀξιῶσαι κινεῖσθαι, ἐν μέτρῳ ἐλευθερίας σωτηριώδει πάντιμε.

*Καὶ νῦν. Τῆς Ἑορτῆς ἢ Θεοτοκίον.*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Βυζαντίου τὸν θρόνον ἀρεταῖς κατεκόσμησας, Ἀνδριανουπόλεως θρέμμα ἱερώτατε Κύριλλε, ζηλώσας γὰρ τὰς τρίβους ἀθλητῶν, ἀγχόνη ἠωρήθης απηνῶς, καὶ Πυθιου ἀνεδείχθης, πανσθενουργὸς προστάτης ὅθεν κράζομεν· δόξα τῷ σὲ δοξασαντι Χριστῷ, δοξα τῷ σὲ κραταιώσαντι, δοξα τῷ νεοάθλων κοινωνόν, σὲ ἀναδειξαντι.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς ἢ Θεοτοκίον.*

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α’ Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Λαμπρὲ Ἀρχιερεῦ, τῆς Χριστοῦ Ἐκκλησίας, καὶ Μάρτυς ἐκλεκτέ, ὁ ἐν χρόνοις ἐσχάτοις, ἀθλήσας καὶ δεξάμενος, ἀφθαρσίας τὸν κότινον, καθικέτευε, ὑπὲρ τῶν πίστει τελούντων, σοῦ τὴν πάντιμον, καὶ πανσεβάσμιον μνήμην, πανάριστε Κύριλλε.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς ἢ Θεοτοκίον.*

Κυήσασα σαρκί, τῆς Τριάδος τὸν ἕνα, Χριστὸν τὸν Λυτρωτήν, καὶ Σωτῆρα τοῦ κόσμου, μερόπων γένος

ἔσωσας, καὶ εἰς σφαίρας θεότητος, ἀνεβίβασας, τοὺς Σὲ ἀπαύστως τιμῶντας, Μητροπάρθενε, εὐλογημένη Μαρία, πανύμνητε Δέσποινα.

*Μετὰ τὴν β' Στιχολογίαν,*
*Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.*

Μνήμην σήμερον, ἐπιτελοῦντες, σοῦ τὴν πάντιμον, Ἱερομάρτυς, Πατριάρχα ἱερώτατε Κύριλλε, τὸν δι' ἀγχόνης ὑμνοῦμέν σου θάνατον, ὃν ἀνδρικῶς καθυπέστης καὶ κράζομεν· τῷ παντάνακτι Χριστῷ ἀσιγήτως πρέσβευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς ἢ Θεοτοκίον.*

Παντευλόγητε, Θεογεννῆτορ, ῥῦσαι ἅπαντας, τῆς τοῦ βελίαρ, ἀπειλῆς τῇ κραταιᾷ προστασίᾳ Σου, καὶ τῆς Σῆς χάριτος φέγγει καταύγασον, ἐζοφωμένας καρδίας τῶν δούλων Σου, ἵνα πέλαγος τοῦ βίου τὸ πολυκύμαντον, ἀφόβως διαπλεύσωμεν Μητρόθεε.

*Μετὰ τὸν Πολυέλεον,*
*Κάθισμα. Ἦχος γ'. Τὴν ὡραιότητα.*

Τὴν Βασιλεύουσαν, πασῶν τῶν πόλεων, καλῶς ἐποίμανας, καὶ κατεκόσμησας, αἱμάτων θείων σου κρουνοῖς στολὴν τῆς ἱεραρχίας, Κύριλλε πανένδοξε, νεοάθλων ἀκρώρεια, καὶ κοσμῆτορ πάντιμε τῆς Ἀδριανουπόλεως· διόπερ τὴν σὴν μνήμην τελοῦντες, πόθῳ βοῶμέν σοι τὸ χαῖρε.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς ἢ Θεοτοκίον.*

Τὴν σκοτισθεῖσάν μου, ψυχὴν καταύγασον, φωτὶ τῆς χάριτος, τοῦ θείου Τόκου Σου, ἁγνὴ Παρθένε Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀχλὺν ἀπέλασον, τῶν ἀπείρων πταισμάτων μου, ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως, καὶ πόθῳ ἀσιγήτως βοῶ Σοι· χαῖρε ἡ κεχαριτωμένη.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον: *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτης τῆς καρδίας μου σύνεσιν.*

Στ.: *Οἱ ἱερεῖς Σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί Σου ἀγαλλιάσονται.*

Εὐαγγέλιον, Ἱεραρχικόν.

Ὁ Ν' ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β'. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Ἱεράρχα Κύριλλε, ὁ ποιμὴν ὁ καλὸς τῆς Ἐκκλησίας, ὁ μαθητὴς τοῦ ἀρχιποίμενος Χριστοῦ, καὶ τῶν παθημάτων Αὐτοῦ ὁμόζηλος, ἀγχόνῃ ἀπῃωρήθης ἐν Ἀδριανουπόλει. Καὶ νῦν τὰ στίγματα τοῦ μαρτυρίου σου, περιφέρων ὡς τρόπαιον, καὶ σὺν Ἀθληταῖς ἀνδρείοις αὐλιζόμενος, ἱκέτευε τὸν ἐνδυναμώσαντά σε Κύριον, σώζεσθαι τοὺς σὲ μακαρίζοντας.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου ἢ τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς: *Κυρίλλου Πατριάρχου, ἄθλησιν ἐπαίνω. Χ.*

*Ὠδὴ α'. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Κυρίλλου τὴν ἔνστασιν, τὴν ἀνδρικὴν ἀναμέλποντες, εὐήχοις ἐν ᾄσμασιν, ὑμνολογοῦμεν Χριστόν, τὸν κρατύνασντα, αὐτὸν τῆς Ἄγαρ τέκνων, πατῆσαι τὸ φρύαγμα, ἄρτι στεῤῥότατα.

Ὑψαύχενον Κύριλλε, ἐχθρὸν τῇ σῇ ἐταπείνωσας, ἀθλήσει καὶ σύστημα, τῶν ὑποδούλων πιστῶν, τοῦ παντάνακτος, ἐν χρόνοις δυσχειμέροις, κατέπιθες κράζειν Σοι· χαῖρε πανσέβαστε.

Ῥωννύμενος χάριτι, τοῦ θείου Πνεύματος Κύριλλε, προΐστορ θειότατε, τοῦ Βυζαντίου καλῶς, τὸν ἀγῶνά σου, ἐν βρόγχῳ τῆς ἀγχόνης, ἀρτίως ἐτέλεσας, Πάτερ παγκόσμιε.

*Θεοτοκίον.*

Ἱλέωσαι Κύριον, ἡμῖν ἁγνὴ τοῖς οἰκέταις Σου, τοῖς Σὲ μεγαλυνούσιν, εἰς τοὺς αἰῶνας φαιδρῶς, καὶ προσφεύγουσι, ταῖς Σαῖς ἀδιαλείπτοις, λιταῖς πρὸς τὸν Τόκον Σου, καὶ Πλάστην κτίσεως.

*Ὠδὴ γ'. Τοὺς Σοὺς ὑμνολόγους.*

Λαμπὰς ὁσιότητος καὶ θάῤῥους, οἱ γόνοι τῆς Ἄγαρ ἰταμῶς, ἀγχόνῃ ἀπῃώρησαν, σὲ καὶ εἰς Ἕβρον ἔῤῥιψαν, τὸν ποταμὸν σὸν λείψανον, τὸ ἱερώτατον Κύριλλε.

Λαμπρόν σου κατέστηξας ποδήρη, χιτῶνα ἀπίστων ἐμπτυσμοῖς, τοῦ Βυζαντίου πρόεδρε, καὶ ὡς ποιμὴν προβάτων σου, καλὸς ὑπὲρ τῆς ποίμνης σου, ἐδέξω θάνατον Κύριλλε.

Οὐράνιε ἄνθρωπε ἀνδρείως, ἐν χρόνοις δουλείας ζοφερᾶς, τοῦ ἔθνους στῦλος πέφηνας, πιστῶν ἀδιατάρακτος, ὀλιγοψύχους Κύριλλε, στηρίζων λόγοις πυρφόροις σου.

*Θεοτοκίον.*

Ὑπέραγνε Μῆτερ τοῦ Ὑψίστου, προστάτις ἁπάντων τῶν βροτῶν, ἐν συμφοραῖς καὶ θλίψεσι, παντοίαις πέλεις Δέσποινα· διό Σε μεγαλύνοντες, ταῖς Σαῖς λιταῖς καταφεύγομεν.

*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Νομίμως ἠγώνισαι ἐν τοῖς ἐσχάτοις καιροῖς, ὑπὲρ τοῦ ποιμνίου σου τοῦ ἐν δουλείᾳ πικρᾷ, στενάζοντος Κύριλλε· ὅθεν τῆς ἀφθαρσίας, δεδεγμένος τὸ στέφος, χάριν παρὰ Κυρίου, ὑπὲρ πάντων πρεσβεύειν, τῶν σὲ τιμώντων χρεωστικῶς, ἄφθονον εἴληφας.

*Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς ἢ Θεοτοκίον.*

Τῷ φέγγει Σῆς χάριτος ἐσκοτισμένας ἡμῶν, καρδίας καταύγασον εὐλογημένη ἁγνή, Παρθένε κραυγάζομεν, ἵνα τῷ τοῦ Κυρίου, καὶ παντάνακτος φόβῳ, Μῆτερ τοῦ Ζωοδότου, πορευσώμεθα πάντες, αἰνοῦντές Σε φωναῖς ἱεραῖς, καὶ ὕμνοις πρέπουσιν.

*Ὠδὴ δ᾽. Ὁ καθήμενος ἐν δόξῃ.*

Πατριάρχα θεοφόρε Βασιλίδος τῶν πόλεων, Κύριλλε γενναῖε, στίγματα βαστάζων ἐν σώματι, τῷ σῷ Χριστοῦ τοῦ Δεσπότου δρόμον ἤνυσας, τῆς ἀθλήσεως, ὡς νεανίας τὸν δύσβατον.

Ἀθλοφόρων θειοτάτων νεαυγέστατον πύρσευμα, Κύριλλε ἀκτῖσι, πάντας σοῦ ἀλκίμου φρονήματος, φωτίσας ὤφθης Μαρτύρων νέων σέμνωμα, καὶ ἀπαύγασμα, ἀρχιερέων τῆς πίστεως.

Τῆς ἀθλήσεως πυξίον ἱερώτατε Κύριλλε, σκήνωμα σὸν θεῖον, εἰς τὸν ποταμὸν ὅπερ ἔῤῥιψαν, Χριστοῦ ἐχθροὶ ἐξεβράσθη εἰς τὸ Πύθιον, τὸ κατέχον σε, νῦν πανσθενῆ ἀντιλήπτορα.

*Θεοτοκίον.*

Ῥῦσαι πάντας κατωδύνων, πειρασμῶν καὶ κακώσεων, κεχαριτωμένη, Δέσποινα ἁγνὴ ἀειπάρθενε· ὅτι μετὰ τὸν Θεὸν εἰς Σὲ προσφεύγομεν, ὥσπερ ἄσειστον, καὶ ἀῤῥαγὲς περιτείχισμα.

*Ὠδὴ ε᾽. Ἐξέστη τὰ σύμπαντα.*

Ἰδόντες οἱ ἄπιστοι, τὴν φλόγαν τῆς καρδίας σου, Κύριλλε ἐν Ἀδριανουπόλει, καὶ σβέσαι φάος, ἀκτινοβόλου μορφῆς, σῆς θείας ποθοῦντες ἰταμῶς, ἐν ἀγχόνῃ ἔνδοξε, σὲ αὐτοὶ ἀπῃώρησαν.

Ἀξίως ὑμνοῦμέν σε, Ἱερομάρτυς ἔνδοξε, Κύριλλε ἀρτίως τὸν τυθέντα, ὑπὲρ τοῦ γένους, τῶν εὐσεβῶν καὶ Χριστοῦ, ἀγάπης Πυθίου δὲ θερμόν, ῥύστην καὶ ἀκέστορα, ἐν δεινοῖς τὸν δεικνύμενον.

Ῥεόντων στεῤῥόψυχε, Ἱερομάρτυς Κύριλλε, πάντων ὑπερόπτης ἀνεδείχθης· ἔχων γὰρ ὄμμα, τὸ τῆς σεπτῆς σου ψυχῆς, σαφῶς ἐστραμμένον πρὸς Θεόν, ὑπερεῖδες θάνατον, δι᾽ Αὐτὸν ἐπονείδιστον.

*Θεοτοκίον.*

Χρηστότητος ἔκτυπον, καὶ παρθενίας σκήνωμα, κεχαριτωμένη Θεοτόκε, χρηστοηθείας, καὶ παρθενίας φανόν, ἀνάδειξον πρόσφυγα τὸν Σόν, νῦν τὸν μεγαλύνοντα, Σὲ καὶ πόθῳ δοξάζοντα.

*ᾨδὴ στ᾽. Τὴν θείαν ταύτην.*

Οὐδόλως Ἄγαρ κατέπτηξας, υἱῶν τῶν παμβεβήλων τὴν ἔφοδον, τρισμάκαρ Κύριλλε, καὶ κρεμασθεὶς ὥσπερ ἄνομος, ἐν τῷ ἐπισκοπείῳ, ἀπάτην ἔτρωσας.

Ὑψίστου πάντιμε Κύριλλε, σεμνὲ ἱεροφάντορ οἱ ἄπιστοι, μετὰ Γρηγόριον, τὸν σοῦ ἐν θώκῳ διάδοχον, τὴν τοῦ Θωμᾶ ἡμέραν, στυγνῶς ἐκρέμασαν.

Ἁγίων ὤφθης ὁμόζηλος, Μαρτύρων ἐν ἐσχάτοις τοῖς ἔτεσι, θεόφρον Κύριλλε· ζηλώσας γὰρ τὰ παλαίσματα, αὐτῶν καὶ μαρτυρήσας, καλῶς δεδόξασαι.

*Θεοτοκίον.*

Θεοχαρίτωτε Δέσποινα, ἐξ ὕπνου ματαιότητος ἔγειρον, τὸν Σοὶ προσπίπτοντα, πρὸς ἐργασίαν θεάρεστον, καὶ ὕπνωσόν μου πάθη, τὰ χαλεπώτατα.

*Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.*

Τὸν Πατριάρχην τὸν φιλόθεον καὶ ἄριστον, ὀφθέντα πᾶσιν ἀθλητὴν ἐγκωμιάσωμεν, Βυζαντίου τὸν

κοσμήτορα καὶ ποιμένα, ἀληθῆ τοῦ ἐν πικρᾷ δουλείᾳ στένοντος, ὀρθοδόξων δήμους θείοις μελῳδήμασιν, ἀνακράζοντες· Χαίροις πάντιμε Κύριλλε.

*Ὁ Οἶκος.*

Ἄγρυπνος ποιμενάρχης, καὶ καλλίνικος Μάρτυς, ἐπώφθης ἄρτι Κύριλλε θεῖε· Βασιλίδος γὰρ θρόνον σεπτόν, ποιμασίᾳ μάκαρ Ἀθλητὰ εὔψυχε, ἐκόσμησας καὶ ἤγειρας, χορόν σοι Ὀρθοδόξων ψάλλειν·

Χαῖρε, ἡ ῥῶσις τῶν Ὀρθοδόξων·
χαῖρε, ἡ τρῶσις τῶν ἀλλοπίστων.
Χαῖρε, νεοάθλων σεπτῶν ἐγκαλλώπισμα·
χαῖρε, ἀλκιφρόνων Μαρτύρων ὑπόδειγμα.
Χαῖρε, πρόεδρε περίδοξε, Βυζαντίου τοῦ κλεινοῦ·
χαῖρε, ἔνθερμε ὑπέρμαχε, τοῦ στενάζοντος λαοῦ.
Χαῖρε, ὅτι ἀγχόνῃ κραταιὲ ᾐωρήθης·
χαῖρε, ὅτι ἐν τέλει τῷ Κυρίῳ προσήχθης.
Χαῖρε, βλαστὲ Ἀδριανουπόλεως·
χαῖρε, πυρσὲ νεόφωτε πίστεως.
Χαῖρε, Πυθίου τῆς κώμης προστάτης·
χαῖρε, τοῦ δήμου πιστῶν παραστάτης.
Χαίροις, πάντιμε Κύριλλε.

*Συναξάριον.*

*Τῇ ΙΗ΄ τοῦ αὐτοῦ Μηνός, ὁ Ἅγιος Νέος Ἱερομάρτυς Κύριλλος ὁ ΣΤ' Πατριάρχης Κωνσταντινουπόλεως, ἐν ἔτει 1821, ἀπαγχονισθεὶς τελειοῦται*

*Ἀγχόνῃ Κύριλλε Βυζαντίου πρῶτε,*
*ὑπὲρ Χριστοῦ ᾐωρήθης καὶ λαοῦ σου*

*ᾨδὴ ζ'. Οὐκ ἐλάτρευσαν.*

Λύσας Κύριλλε σοῖς ῥήμασι σκοτόμαιναν ἀπίστων ἤθλησας, ἐπὶ ἀγχόνης στεῤῥῶς, καὶ χαίρων ἀνέδραμες, ζωὴν πρὸς ἄπονον, καὶ πρὸς εὔκλειαν, ἀρχιερεῦ οὐράνιον, καὶ ἀνέσπερον τῷ ὄντι.

Ἡ βλαστήσασα τῆς Ἀδριανουπόλεως σὲ πόλις Κύριλλε, ἀγαλλιᾶται τῇ σῇ, ἀθλήσει καὶ μνήμην σου, τελοῦσα πάντοτε, τὴν πανσέβαστον, δοξολογεῖ τὸν Κύριον, σὲ δοξάσαντα ἀξίως.

Στηλογράφημα συνέσεως ποτήριον ἐγεύσω Κύριλλε, τῆς ἐξορίας πικρόν, καὶ ὥσπερ φιλέρημον, στρουθίον ἔδραμες, εἰς γενέτειραν, τὴν σὴν λατρεύειν Κύριον, τὸν Θεὸν ἐν ἡσυχίᾳ.

*Θεοτοκίον.*

Ἱλαστήριον μερόπων κοσμοσώτειρα δυσώπει Κύριον, τὸν Σὸν Υἱὸν καὶ Θεόν, λυτρώσασθαι Κρίσεως, μελλούσης ἅπαντας, τοὺς προσφεύγοντας, τῇ θείᾳ ἀντιλήψει Σου, καὶ ἀόκνῳ προστασίᾳ.

*ᾨδὴ η'. Παῖδας εὐαγεῖς.*

Νέος τοῦ Χριστοῦ Ἱερομάρτυς, ὀφθεὶς πλάνης φρύαγμα συνέκοψας, τῇ μαχαίρᾳ τῶν λόγων σου, θεοσόφων Κύριλλε· διόπερ οὐκ ἀπέφυγες, τῶν πλάνων ἔφοδον, καὶ ἤθλησας, καλῶς ἐπὶ ξύλου, κρεμασθεὶς ὡς πλάνος, ἀγύρτης καὶ κακοῦργος.

Ἔῤῥιψαν εἰς Ἕβρον τὸν σὸν σκῆνος, οἱ ἄπιστοι ἵνα σοῦ ἐξαφανίσωσι, Πατριάρχα Κύριλλε, μάκαρ ἱερόαθλε, τὸ λείψανον τὸ ἅγιον, καὶ ἴχνη ἅπαντα, ἐγκλήματος αὐτῶν τοῦ ἀνόμου, ὡς τοῦ Γρηγορίου, εἰς Βόσπορον τοῦ Πέμπτου.

Πύθιον ἐν σοὶ ἀγαλλιᾶται, τὸ νῦν πολιοῦχον θεῖον ἔχον σε, ὅτι καθηγίασας, γῆν αὐτοῦ τὴν πάντιμον, καὶ τάφον κατασπάζεται, σὸν θεῖον Κύριλλε· πολύπαθον σὸν γὰρ ἠξιώθη, σκήνωμα κηδεῦσαι, καὶ κατὰ χρέος θάψαι.

*Θεοτοκίον.*

Ἄτρωτον φαυλότητος ἁπάσης, πανάμωμε τοῦ δολίου πολεμήτορος, τήρει τὴν καρδίαν μου, πόθῳ ἀνακράζω Σοι, καὶ δίδου μοι μετάνοιαν, ψυχοσωτήριον, Παρθένε ἵνα Σοῦ μεγαλύνω, εἰς αἰῶνας πάντας, τῶν θαυμασίων πλῆθος.

*Ὠδὴ θ᾽. Ἅπας γηγενής.*

Ἴσχυσας υἱῶν, πατῆσαι τὸ φρύαγμα, τῆς Ἄγαρ Κύριλλε, Παρακλήτου χάριτι, καὶ τὸν ἀγῶνα τὸν τῆς ἀθλήσεως, τὸν νόμιμον καὶ κάλλιστον, ἀνῦσαι Ἅγιε· διὰ τοῦτο, Πατριάρχα ἔνδοξε, εὐκληρίας τῆς ἄνω ἠξίωσαι.

Νέαν ἑορτήν, ἡμῖν Πάτερ ἤγειρας, τῇ ἐναθλήσει σου, Ἱεράρχα Κύριλλε, τῆς Ἐκκλησίας ἔρνος νεόβλαστον, καὶ σέλας νεοπύρσευτον· διὸ τιμῶντές σε, ἐπαινοῦμεν, ἄθλους τοὺς τιμίους σου, οὕσπερ ἔτλης καλῶς ὑπὲρ πίστεως.

Ὡς φωτὸς πηγή, αὐγάζεις τὸ Πύθιον, παμμάκαρ Κύριλλε, Θράκης πάντα πέρατα, καὶ Ἐκκλησίαν Χριστοῦ ἀκτῖσί σου, ἀνδρείας· ὅθεν μνήμην σου, τὴν πανακήρατον, ἐκτελοῦντες, πάντες μεγαλύνομεν, δαψιλῶς τὸν σὲ πλήσαντα χάριτος.

*Θεοτοκίον.*

Χαίρει καὶ σκιρτᾶ, πανύμνητε Δέσποινα, πιστῶν ὁ σύλλογος, ἀνυμνῶν τὸν Κύριλλον, τὸν Πατριάρχην καὶ Νεομάρτυρα, καὶ ἐκβοᾷ Σοι· πρέσβευε, Θεογεννήτρια, τῷ Υἱῷ Σου, καταπέμψαι ἔλεος, καὶ εἰρήνην ἡμῖν τοῖς Σοῖς πρόσφυξι.

*Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.*

Φωταγωγεῖς τὰ σύμπαντα, ἀκτῖσι μαρτυρίου σου, τοῦ Βυζαντίου προϊστορ, καὶ νεοάθλων ἀκρότης· διό σε μακαρίζοντες, οἱ ἐν σκιᾷ καθεύδοντες, τῆς ἁμαρτίας Κύριλλε, ἀναβοῶμεν· δυσώπει, ὑπὲρ ἡμῶν τὸν Σωτῆρα.

*Θεοτοκίον.*

Τὸν Φωτοδότην Κύριον, δεχθεῖσα ἐν τῇ μήτρᾳ Σου, ὑπερφυῶς Θεοτόκε, φωτὸς ἐπλήσθης ἀῤῥήτου· διὸ καὶ χάριν εἴληφας, ὑψόθεν ἀπειρόγαμε, παθῶν μου τὴν σκοτόμαιναν, ταχέως πόῤῥῳ ἐλαύνειν, βολαῖς τῆς Σῆς προστασίας.

*Αἶνοι. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Πάτερ, θεοφόρε Κύριλλε, ἀρχιερεὺς ἐκλεκτός, καὶ ποιμὴν ἀληθέστατος, Κωνσταντινουπόλεως, ἐν

ἐσχάτοις τοῖς ἔτεσιν, ἐδείχθης· ὅθεν, ἀγέλη ἔλλογος, τῶν σῶν προβάτων, εἰς σὲ προστρέχουσα, ῥώμην ἐλάμβανεν, ἐκτινάξαι ἄνομον ἐχθρῶν ζυγόν, καὶ ὑψῶσαι λάβαρον, Χριστοῦ τῆς πίστεως.

Πάτερ, θεοφόρε Κύριλλε, ἐσμὸς τῶν Ἄγαρ υἱῶν, εἰς ἀγχόνην σε ὕψωσεν, Ἀδριανουπόλεως, εὐθαλέστατον βλάστημα, ἵνα σφραγίσῃ, στόμα τὸ πάντιμον, τὸ σὸν Πατέρων, ἐνθέων ἔκτυπον, καὶ χειμαζόμενον, γένος τὸ Ὀρθοδόξον εἰς σκοτασμόν, παραμείνῃ πάντοτε, καὶ ὑποδούλωσιν.

Πάτερ, θεοφόρε Κύριλλε, εἰς ποταμοῦ τὸν βυθόν, Ἕβρου σκῆνος τὸ θεῖόν σου, Νεομάρτυς ἄλκιμε, τῆς σεπτῆς ἡμῶν πίστεως, ἐῤῥίφθη νεύσει, ὅμως τῇ κρείττονι, πιστῷ ἐφάνη, ἀνδρὶ λαμπόμενον, φέγγει τῆς χάριτος, ἐν τῇ ὄχθῃ κείμενον τοῦ ποταμοῦ, ὃς αὐτὸ εἰς οἴκημα, ἴδιον ἔθαψε.

Πάτερ, θεοφόρε Κύριλλε, Πυθίου κώμης σεπτός, πολιοῦχος καὶ ἄγρυπνος, παραστάτης ἔνδοξε, πέλεις Μάρτυς νεόαθλε· διό σε πάντες, ἐγκωμιάζοντες, τὴν λαμπροφόρον, καὶ θείαν μνήμην σου, ἄγομεν σήμερον, Πατριάρχα πάνσοφε καὶ μυστικῶς, ἄθλους τοὺς τιμίους σου, φαιδρῶς δοξάζομεν.

*Δόξα. Ἦχος πλ. α΄.*

Θεοπρεπῶς πολιτευσάμενος, καὶ δόκιμος ἐργάτης τοῦ μυστικοῦ ἀμπελῶνος γενόμενος, σεαυτὸν προσήνεγκας ὁλοκάρπωμα θεῖον, Χριστῷ τῷ παντάνακτι Κύριλλε Πατριάρχα θειότατε. Σὺ γὰρ κοσμήσας Βυζαντίου τὸν θρόνον, καὶ ὑπόδουλον λαὸν

ἐνισχύσας ἀποτάξαι ζυγὸν τῆς ἀπάτης, ἀγχόνῃ ὡς ἄνομος τὸν σὸν βίον τετέλεκας, ἐν Ἀδριανουπόλει τῇ βλαστησάσῃ σε· διὸ τὴν σὴν μνήμην νῦν ἐπιτελοῦσαι, χριστωνύμων αἱ χορεῖαι γηθόμεναι, τὴν σὴν ἄθλησιν ἐγκωμίοις στέφομεν, καὶ τὰς σὰς εὐχὰς αἰτούμεθα, πρὸς τὸν χορηγὸν τῆς ἡμῶν ἐλευθερίας Κύριον.

*Καὶ νῦν. Τῆς Ἑορτῆς ἢ Θεοτοκίον.*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Χαίροις ὁ προθύμως ἀποκτανθείς, ὡς ποιμὴν θεόφρον, Ἐκκλησίας Χριστοῦ καλός, Κύριλλε τρισμάκαρ, ὑπὲρ τοῦ σοῦ ποιμνίου, Ἀγαρηνῶν προτάσσων, τὴν ἰταμότητα.

